Ακαδημία Αθηνών / Academy of Athens

κλῆς 35.14 *αἶψα δὲ θνήτ' ἐ φ ύ ο ν τ ο* 61.1 *πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερνα φ ύ ε σ θ α ι* 115.7 *φ υ ο μ έ ν ο υ ς παντοῖα διὰ χρόνου εἴδεα θνητῶν* **3.** 'Αναφύομαι/προκύπτω, spring up/occur, Δημόκριτος 173 *ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φ ύ ε τ α ι.*||**πέφυκα 1.** Εἶμαι ἀπὸ τὴ φύση μου, be by my nature, Ξενοφάνης 32.1 *ἥν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο π έ φ υ κ ε* **2.** Ἔχω γίνει/ὑπάρχω, exist, 'Εμπεδοκλῆς 22.3 *ὅσσα φιν ἐν θνητοῖσιν ἀποπλαχθέντα π έ φ υ κ ε ν.* Πρβλ. *ἀναβλαστεῖν, ἐκγίγνεσθαι, διαφύεσθαι.*

**φυλακὴ 1.** Σκοπιὰ φρουροῦ, watch of the guard, Πυθαγόρειοι 37 (DK I 461,32) *Διὸς φ υ λ α κ ὴ ν* **2.** 'Επιφυλακτικότης/συγκρατημός, guardedness/restraint, Δημόκριτος 3.4 *ἀλλὰ τοσαύτην ἔχειν φ υ λ α κ ή ν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ πλέον ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι.*

**φύλαξ.** Φύλαξ/φρουρός, guardian, 'Ηράκλειτος 63 *καὶ φ ύ λ α κ α ς γίνεσθαι ἐγερτὶ ζώντων καὶ νεκρῶν.*

**φυλάττειν.** Φυλάω/διατηρῶ, keep/conserve, 'Ηράκλειτος 28 *δοκέοντα γὰρ ὁ δοκιμώτατος γινώσκει, φ υ λ ά σ σ ε ι.* || **φυλάττεσθαι** Φυλάγομαι/προφυλάσσομαι, guard against, 'Αλκμαίων 5 *ἐχθρὸν ἄνδρα ῥᾷον φ υ λ ά ξ α σ θ α ι ἢ φίλον* Δημόκριτος 193 *φρονήσιος ἔργον μέλλουσαν ἀδικίην φ υ λ ά ξ α σ θ α ι.*

**φύλλον.** Φύλλο, leaf, 'Εμπεδοκλῆς 82.1 *ταὐτὰ τρίχες καὶ φ ύ λ λ α καὶ οἰωνῶν πτερὰ* 140 *δάφνης φ ύ λ λ ω ν ἄπο πάμπαν ἔχεσθαι.*

**φῦλον.** Γένος, race/kind, Παρμενίδης 6.7 *ἄκριτα φ ῦ λ α* 'Εμπεδοκλῆς 74 *φ ῦ λ ο ν ἄμουσον ἄγουσα πολυσπερέων καμασήνων.*

**φυσικός** (συνών. *φυσιολόγος*). Φυσικὸς φιλόσοφος, philosopher of nature, Λεύκιππος A 24 (DK II 78,7) *καθάπερ τῶν φ υ σ ι κ ῶ ν καλουμένων φησί τις.* || **φυσικά (τά).** Σύγγραμμα περὶ

Ακαδημία Αθηνών / Academy of Athens

φύσεως, essay on nature, Ἐμπεδοκλῆς 8 *ἐν τῷ πρώτῳ Φ υ σ ι κ ῶ ν* Ἀναξαγόρας 1 *διὰ τοῦ πρώτου τ ῶ ν Φ υ σ ι κ ῶ ν* 17 *ἐν τῷ πρώτῳ τ ῶ ν Φ υ σ ι κ ῶ ν* 22 *ἐν τ ο ῖ ς Φ υ σ ι κ ο ῖ ς* Δημόκριτος A 33 (DK II 91,1) *Φ υ σ ι κ ὰ* δὲ τάδε.

**φυσιολόγος** (συνών. *φυσικός*). Φυσικὸς φιλόσοφος, philosopher of nature, Μενέστωρ 7 ὅθεν *καὶ οἱ παλαιοὶ τῶν φ υ σ ι ο λ ό γ ω ν* ἀπείρους ἐτίθεντο τοὺς χυμοὺς Διογένης A 4 (DK II 52,22) *πρὸς φ υ σ ι ο λ ό γ ο υ ς.*

**φυσιοποιεῖν.** Δημιουργῶ "φύση"/δημιουργῶ ἰδιότητες ἰσοδύναμες πρὸς τὶς φυσικές, create 'nature'/create properties equivalent to natural ones, Δημόκριτος 33 *ἡ διδαχὴ μεταρυσμοῖ τὸν ἄνθρωπον, μεταρυσμοῦσα δὲ φ υ σ ι ο π ο ι ε ῖ.*

**φύσις 1.** Φύση/οὐσία, nature/substance, Ἡράκλειτος 1 *ἐπέων καὶ ἔργων τοιούτων, ὁκοίων ἐγὼ διηγεῦμαι κατὰ φ ύ σ ι ν διαιρέων ἕκαστον* 112 *σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φ ύ σ ι ν ἐπαΐοντας* Φιλόλαος 11.25 *πολέμιον γὰρ καὶ ἐχθρὸν τᾷ φ ύ σ ε ι τὸ ψεῦδος* Διογένης 2.6 *ἕτερον ὂν τῇ ἰδίᾳ φ ύ σ ε ι.* || Ἡράκλειτος 106 *ἀγνοοῦντι φ ύ σ ι ν ἡμέρας ἁπάσης μίαν οὖσαν* Παρμενίδης 10.1-5 *εἴσῃ δ' αἰθερίαν τε φ ύ σ ι ν τά τ' ἐν αἰθέρι πάντα σήματα... ἔργα τε κύκλωπος πεύσῃ περίφοιτα σελήνης καὶ φ ύ σ ι ν* 16.3 *τὸ γὰρ αὐτὸ ἔστιν ὅπερ φρονέει μελέων φ ύ σ ι ς ἀνθρώποισιν καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα* Ἐμπεδοκλῆς 63 *ἀλλὰ διέσπασται μελέων φ ύ σ ι ς· ἡ μὲν ἐν ἀνδρὸς* Φιλόλαος 11.7-13-17-21 *γνωμικὰ γὰρ ἁ φ ύ σ ι ς ἁ τῶ ἀριθμῶ καὶ ἡγεμονικὰ καὶ διδασκαλικὰ τῶ ἀπορουμένω παντὸς καὶ ἀγνοουμένω παντὶ ... κατὰ γνώμονος φ ύ σ ι ν ... τὰν τῶ ἀριθμῶ φ ύ σ ι ν ... ψεῦδος δὲ οὐδὲν δέχεται ἁ τῶ ἀριθμῶ φ ύ σ ι ς* Ἀρχύτας 1.3 *περὶ γὰρ τὰς τῶν ὅλων φ ύ σ ι ο ς καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀψεῖσθαι.* || Ἐμπεδοκλῆς 110.5 *αὐτὰ γὰρ αὔξει ταῦτ' εἰς ἦθος ἕκαστον, ὅπῃ φ ύ σ ι ς ἐστὶν ἑκάστῳ* Φιλόλαος 11.23 *τᾶς τῶ ἀπείρω καὶ ἀνοήτω καὶ ἀλόγω φ ύ σ ι ο ς τὸ ψεῦδος καὶ ὁ φθόνος ἐστὶ* Διογένης A4 (DK II 52,24) (τίτλ.) *Περὶ ἀνθρώπου φ ύ σ ε ω ς* Δημόκριτος 5d (τίτλ.)